 Οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

Mortuus in terras ego Theris Naufragus actus,

Haud

Haud ceſſo vigilis litoris eſſe memor.
Quæ fluctus feriunt prope ponti ſaxa inimici,
  Nam tumulum ſtruxit mi peregrina manus.
Mortuus atque maris ſonitum miſer audio ſępe,
  Qui fremit impellens me magis atque magis,
Ærumnis nec me ſoluit mors: quando quiete
  Nec poſſum placida mortuus inde frui.

In Aiacem fortiter apud naues pugnantem.

Μοῦνος ἐναιρομένοισιν ὑπέρμαχον ἀσπίδα τείνας
  Νηυσὶ, σαώων βώων αἰὲν ἔμεινας ἄρη.
Οὐδέ σε χερμαδίων ὦσε κτύπος, οὐ νέφος ἰῶν,
  Οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος,
Ἀλλ' αὔτως προβλής τε, καὶ ἔμπεδος ὥς τις ἐρίπνη
  Ἱδρυνθεὶς, ἔτλης λαίλαπα δυσμενέων.
Εἰ δέ σε μὴ τὰ χέρεσιν Ἀχιλλέος ὥπλισεν Ἑλλὰς,
  Ἄξιον αὐτ' ἀρετᾶς ὅπλα πορῦσα γέρας,
Μοιράων βουλῆσι τάδ' ἤμπλακεν, ὡς ἂν ὑπ' ἐχθρῶν
  Μή πιος, ἀλλὰ τεῇ πότμον ἕλῃς παλάμῃ.

Solus apud naues tu Troica ſuſcipis arma,
  Fortia pro cæſis vndique ſcuta mouens.
Non te ſaxorum fragor, aut nubes iaculorum,
  Reppulit, aut ignis, vel gladij ſtrepitus.
Sed veluti quædam prærupta atque aſpera rupes,

Siſtis

Siſtis,& haud hoſtis turbine quaſſus,abis:
Cræcia ſi non te clypeis armauit Achillis
Virtuti reddens præmia digna tuæ:
Parcarum iuſſis errauit;ab hoſtibus vllis
Ne pereas,propria ſed moriare manu.

In Hectoris ſepulcrum.

Καὶ γνῶναι τὸν νέρθε, καὶ οὔνομα, καὶ χθόνα φάνει
Στάλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανεν.
Γεννήτωρ, Πρίαμος. γᾶ δ', ἴλιον. οὔνομα δ', ἕκτωρ.
Ὦ ξεῖν', ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμενος.

Et Patrem,& patriam,nomenq.effare columna.
Eius,quem premis,& qua nece victus obit.
Ilion eſt tellus,Priamus Pater.Hector,amice,
Nomen,pugnando pro patria occubuit.

In Herculem poſt leonem in Nemea
ab eo interfectum.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
Πτήσετε ληϊνόμοι γειαρόται νεμέης.
Ἡ γὰρ ὑφ' ἡρακλῆος ἀρισάθλοιο δέδουπεν,
Αὐχένα θηροφόνοις ἀγχόμενος παλάμαις,
Ποίμνας ἐξελάσασθε, πάλιν μυκηθμὸν ἀκούει

Ηχω

Ηχώ, ἐρημαίης ἐνναέτειρα νάπης.
Καὶ σὺ λεοντόχλαινε πάλιν χαρίσαιο ῥινῷ,
Ηρης πρηυνέων μισονόθοιο χόλον.

Tauriuori haud poſthac vos formidate leonis
Horrendum fremitum, qui Nemeam colitis.
Nam cecidit fericida perẽptus ab Hercule forti,
Suffocata graui ſunt fera colla manu.
Huc agitote greges:reboat mugitibus Echo
Rurſus,deſertis quæ manet in ſcopulis:
Pelle leonina tectus tu ſcuta reſume,
Iunonem placa, cui nothus eſt odio.

In Boues Nauium ductores

Οὐ μόνον ἐς ἄροτον βόες οἴδαμεν αὔλακα τέμνειν,
Αλλ' ἴδε καὶ πόντου νῆας ἀφελκόμεθα.
Εργα γὰρ εἰρήνης δεδιδάγμεθα· καὶ σὺ θάλασσα,
Δελφῖνας γαίῃ ζεῦξον ἀροτροφορεῖν.

Non ſolum ſcimus bene aratos findere ſulcos,
E pelago naues ducimus ecce boues.
Nãque operas pacis docti ſumus : at mare contra
Delphinos terra iunge,vt aratra ferant.

In tres ſorores Mineruæ lanificas.

Αἱ τριζσαὶ, Σατύρητε, καὶ ἡρακλεια, καὶ Εὐφρὼ,
  Θυγατέρες Ξούθου, καὶ Μελίτης, σάμιαι,
Α μὲν, ἀραχναίοιο μίτου πολυδίνεα λᾶβιν
  Ἄβακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας,
Α δὲ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων·
  Εὔθροον ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
Οἷς ἔχον χερνῆτα βίον δίκαιον, ἀθάνα
  Πότνια, τοῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

Euphro, cum Satire, ſimul Meraclea, creatæ
  E Xutho, ac melite, tergeminæ Samiæ.
Lycij Arachnæi famulum tulit vna rotantem
  Fuſum, cui compar addita longa colus.
Denſi ſollicitum radium tulit altera pepli
  Stridentem: calathum tertia lanigerum,
Queis ſibi nendo diu manibus, Tritonia, victum
  Quærunt, ancillæ hæc iam poſuere tibi.

In Marſyam Tibijs cum Apolline certantem, & ab eo ſuſpenſum.

Αἰωρῇ θήρειον ἱμαζόμενος δέμας αὔραις
  Γλᾶμον ἀορτηθεὶς ἐκ λασίας πίτυος,

Αἰω-

Αἰωρῇ. Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
  Πρῶνα κελαινίτην ναιετάων σάτυρε.
Σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον, οὐκ ἔτι νύμφαι,
  Ὡς πάρος ἐν φρυγίοις οὔρεσι πλασόμεθα.

Corpore ſublatus caprino,agitatus ab auris,
  E denſa pinu pendulus es miſere.
Pendulus es:cantando auſus contendere Phœbo;
  Monte Celænarum,cui domus eſt,Satyre.
Nec tua poſt nobis Nymphis velunt ante ſonabit,
  Montibus in Phrygijs tibia dulciſona:

Rectè igitur Cicero in Oratione pro Archia Poëta inquit. Hunc ego non diligam? Non admirer? &c.

FINIS.

EPITAPHIA ET EPIGRAMMATA VARIA.

ΕΠΙΤΑΦΙΑ ΚΑΙ ΕΠΙΓΡΑΜΜΑΤΑ ΠΑΝΤΟΔΑΠΑ.

Ἡρωελεγεῖα ἐπιχαραχθέντα τῷ τάφῳ Κονσταντίνης βασιλίσσης Μαυρικίου τοῦ αὐτοκράτορος γυναικός. ἣ ἀνῃρέθη ὑπὸ τοῦ Φωκᾶ τοῦ Θρηκὸς τυράννου μετὰ Μαυρικίου τοῦ ἀνδρὸς αὐτῆς, καὶ τοῦ υἱοῦ Θεοδοσίου, καὶ τριῶν θυγατέρων.

Α ἐγὼ ἡ βιτάλαινα, καὶ ἀμφοτέρων βασιλήων
Τιβερίου θυγάτηρ, Μαυρικίου τε δάμαρ.
Ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείη
Ὡς ἀγαθὸν τελέθει ἡ πολυκοιρανίη.
Κεῖμαι σὺν τεκέεσσι, καὶ ἡμετέρῳ παρακοίτῃ
Δήμου ἀτασθαλίῃ καὶ μανίῃ στρατιῆς.

Τῆς Ἑκάβης ἔτλην πολὺ χείρονα, ἠδ' Ἰοκάστης
Αἶ αἶ τῆς Νιόβης ἔμπνοος εἰμὶ νέκυς.
Ναὶ ναὶ τῶν γενετῶν· τί μάτην τὰ νεογνὰ ἔκτειναν
Ἀνθρώπων κακίης οὐδὲν ἐπισάμενα;
Ἡμετέροις πετάλοισι κατάσκιος οὐκ ἔτι Ῥώμη.
Ῥίζα γὰρ ἐκλάσθη Θρηικίοις ἀνέμοις.

Heroelegia inſcripta ſepulcro Conſtantinæ Imperatricis Mauricij Imperatoris coniugis, quæ occiſa eſt à Phoca Thrace tyranno cum Mauricio viro ſuo, & filio Theodoſio, ac tribus filiabus
H. B. Interpr.

Ah, ego ter miſera. & regum tamen vna duorum
Mauritij coniux nataq. Tiberij.
Prole potens regina fui: partuq. beato
Oſtendi, plures quam bene ſceptra gerant.
Cum natis cecidi, cum coniuge: perfida turba
Dum ſæuit, miles dum ferus enſe furit.
Perpeſſa, heu, grauiora Hecuba, grauiora Iocaſta,
Heu, buſtum ſpirans hic iaceo Niobes
Eſto: ſuſtulerint genitorem: at pignora quorſum
Tollant, humanæ neſcia nequitiæ?
Haud noſtris poſthac ramis vmbrabere Roma;
Stirps iacet, heu, ventis eruta Threijcijs?

Εἰς ὅμηρον. Ἄδηλον.

Ἡράων κάρυκ' ἀρεταῖς, μακάρων τε προφήταν
  Ἑλλάνων δόξης δεύτερον ἀέλιον,
Μουσέων φέγγος ὅμηρον ἀγήραντον στόμα κόσμου
  Παντὸς, ὁρᾷς τοῦτον δαίδαλον ἀρχέτυπον
Οὐκ ἔθος ἐστὶν ἐμοὶ φράζειν γένος, οὐδ' ὄνομ' αὐτό
  Νῦν δ' ἕνεκ' Αἰλιανοῦ πάντα σαφῶς ἐρέω.
Πατρίς μοι χθὼν πᾶσα, τὸ δ' οὔνομα φασὶν ὅμηρον,
  Ἐστὶ δὲ μουσάων, οὐκ ἐμὸν οὐδὲν, ἔπος.
Εἰ μὲν θνητὸν ἔφυς, πῶς ἀθάνατόν σ' ἐποίησαν
  Μοῦσαι, καὶ μοιρῶν νῆμ' ἀνέκλωσαν, ἄναξ;
Εἰ δ' ἦσθ' ἀθάνατος, πῶς ἐν θνητοῖς σ' ἀριθμοῦσιν;
  Οὐ μὰ σὲ ταῦτ' ἐχρῆν σεμνὲ ποιητὰ φρονεῖν.
Ἀλλ' ἔγνων τὸ ἀληθὲς ἐπεὶ τὸ σαφὲς διαφάγει,
  Ἄνθρωπον φασὶν θεῖε σ' ὅμηρε πέλειν.

Petrus Marionus.

Muſarum decus, immenſi vox orbis Homerus,
  Semideos celebrat carmine quique Deos:
Cuius ab ingenio nunquam moriturus Achiuum
  Phœbæa veluti lampade fulget honor.
Hic eſt, effectum quem cernis imagine vera,
  Ars quod magnificum Dædala ſtruxit opus.
Mos fuerat reticere mihi nomenq. genusq.
  Nunc dicam, Æliano, cuncta, iubente meo.
Nomē Homero, orbis mihi patria, carmina ſacra
  Non mihi, ſed doctis aſſere virginibus.
Immanem lethi (tibi ſi mortalis origo eſt)

Qua te Caſtalius reddidit arte chorus?
Aut quis (ſi Deus es) inter nos degere iuſſit,
Diſpenſans æui non bene fata tui?
Aſt ego vera ſcio. diuum colis aurea templa:
Sed te mortalem neſcia turba vocat.

In Creta in ruinis Gortynæ.

Ἑσπερίης πάσης χθονὸς ὄβριμον ἰθυντῆρα
Μάρκελλον ὁ θρασὺς μάρψε μόρον ταμίην.
Ἑλλάδος ἀγλαὸν ἔρνος, ὃς ἀρχὴν κυκλάδων γῆς
Κουφίζων πόλιας θῆκεν ἐλαφροτέρας.
Τοὔνεκα καὶ περὶ θύρησι δίκης ἐπιμάρτυρα θεσμῶν
Βουλὴ καὶ Πύρρου θῆκεν ἐφημοσύνη.

Interpr.

Heſperiæ cunctæ ductorem fortemq. bonumq.
Marcellum ſubito parca ſuperba rapit.
Graiugenam clarum qui rexit cycladas omnes
Iureq. conceſſit liberiore frui.
Illi ideo, Pyrrhi decreto & lege Senatus,
Iuſtitiæ hoc ſignum ponitur ante fores.

Conſtantinopoli.

Κίονα τετράπλευρον ἀεὶ χθονὶ κείμενον ἄχθος
Μοῦνος ἀναστῆσαι Θεοδόσιος βασιλεὺς
Τολμήσας καὶ Πρόκλος ἐπέκλετο: καὶ τόσος ἔστη
Κίων ἠελίοις ἐν τριάκοντα δύο.

Petrus Marionus.

Solus Theudoſius quadratam attollere molem
Auſus, humi quod iners ante iacebat onus.

Ter-

Terdenis Proclo illuſtri biniſq. diebus
Ad ſuperos tantum ſurgere iuſſit opus.

Εὐτυχίδου τοῦ λαοξόου ἐπιτάφιον.

Πραξιτέλους ἴδων λαοξόος οὐδὲ χερείων
Ες δ᾽ ἐτέων δισσὰς ἤλυθον ὀγδοάδας.
Οὔνομα δ᾽ Εὐτυχίδης· ψευδώνυμον ἀλλά με δαίμων
Θῆκεν ἀφαρπάξας ὠκύτατ᾽ εἰς ἀΐδαν.

Petrus Marionus.

Praxiteli haud impar, dū vixi, ſculptor habebar.
Quarta tribus luſtris addita meſſis erat.
Eutychidæ falſum mihi nomen adhæſit: ad orcū
Nam celeri Pluto funere me rapuit.

In Creta ad radices montis Idæi.

Οὐρεσὶ Ταλλαίοισιν ἱδρύμενε μαιάδος ἑρμῆ
Σπονδὴν καὶ θυσίην δέξο φιλοφρόσυνος.
Ἥν σοι Σαλλόνιος Μηνᾶς λοιβαῖσι γεραίρει
Κτήσεος ἐξ ὀπίης ψυχικὰ δῶρα διδούς.
Καὶ πρὶν μὲν ζώσης ἀλόχου φάος εἰσορόωσης,
Σὺν κείνῃ κατ᾽ ἔτος σοὺς ἐγέραιρε πόνους:
Ανθ᾽ ὧν δ᾽ ἐγγονίσας ἐπιτήσιον οὐκ ἀπέδωκεν
Συμβίου ἀγνοτάτας τῆσδε καταφθιμένας,
Αλγήσας φρένα πολλά. μαθὼν δ᾽ ὅτι δεῖ τάχα θνητοὺς
Τιμᾶν, διπλῆν σοὶ τὴν δ᾽ ἔπορε θυσίην.
Καὶ σὺ δὲ παντοκράτωρ Εριούνιε τόνδε φυλάσσεις
Σῶον, ὅπως τιμᾷ σοῦ δι᾽ ὅλον τέμενος.

Interpr.

Qui reſides ſummo Tallæi in vertice montis,

Hæc ſacra ò Felix ſuſcipe Atlantiade.
Quæ Menas libat Sallonius, illaq. parta
Iuſte animi puri munera iam ſtatuit.
Olim vitales dum coniux carperet auras,
Vna ambo ſacros hos coluere lares.
Poſtquam illam infelix amiſit, præterit annus,
Nec dedit ille tuis annua ſacra focis.
Heu nimium triſtis, qui nunc debentur honores,
Dijs vouit, gemina hæc & tibi ſacra dicat.
Tu ſerua omnipotens felix: ſic ſemper honores
Ille tuis ſacris, & pia tura dabit.

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου εἰς Βασίλειον
τὸν μέγαν.

Ἡνίκα Βασιλείοιο θεόφρονος ἥρπασε πνεῦμα
Ἡ τριὰς, ἀσπασίως ἔνθεν ἐπειγομένου:
Πᾶσα μὲν οὐρανίη στρατιὴ γήθησεν ἰόντι
Πᾶσα δὲ Καππαδοκῶν ἐστονάχησε πόλις
Οὐκ οἴη: κόσμος δὲ μέγ' ἴαχεν. ὤλετο κῆρυξ,
Ὤλετο εἰρήνης δεσμὸς ἀειπρεπέος.

Petrus Marionus.

Baſſilij quum mens è carcere læta receſſit;
Ad tua feſtinans regna volare Trias,
Omnis cælituum chorus eſt gratatus eunti,
Cappadocum tellus omnis at ingemuit.
Quin reſonat mundi vox flebilis: occidit eheu
Et pacis nexus, & tua Chriſte tuba.

Ro-

Romæ in ædibus Pomponij Læti.

Εἰν ἐνὶ Βιργιλίοιο νόον καὶ μοῦσαν Ὁμήρου
Κλαυδιανῷ Ῥώμη καὶ βασιλεῖς ἔθεσαν.

Ianus Parrhaſius.

Mæonidæ cui mens, Claudi, cui Muſa Maronis
Hanc tibi cum Roma Cæſar vterque dedit.

In æde S. Nicolai.

Μητέρι τῇ πάντων Ῥείῃ τε κέαν τε γενέθλῳ
Ἀττεῖ θ' ὑψίστῳ καὶ συνιέντι τὸ πᾶν
Τῷ πᾶσιν καιροῖς θυμαρέστερα πάντα θύοντι
Κριοβόλου τελετῆς ἠδ' ἔτι Ταυροβόλου
Μυστιπόλος τελετῶν, τοῦτον σαυθήκατο βωμόν,
Δῶρον, Ἀπόλλωνος θεῖον ἔχων ἐπίκλην.

Benedictus Hegius Spoletinus.

Cunctorũ Cybele genitrici hominumq. deumq.
Excelſoq. Atti, quem nihil vſque latet,
Qui facit vt læta celebremus mente quotannis
Crioboli feſtos Tauroboliq. dies,
Qui cognomen habet de munere Apollinis, aram
Sacrorum antiſtes marmoream hanc ſtatuit.

Ἀδηλον·

Δοιοὺς Ἱππομέδοντας ὁμᾶ χθὼν ἅδε καλύπτει
Παῖδά τε καὶ γενέταν ἄμφω ἀποφθιμένους
Παῖδα μὲν ἐς λαιὰν ἐσιόντων χεῖρα τεθέντα,
Δεξιάδαν δ' ἐτάφη ſηραὸς Ἱππομέδων.
Ἀμφοτέροις δ' ἐπέθηκε χυτὰν κόνιν Ἱπποδάμεια
Μάτηρ Ποικιλίω ἐκγόνω ἀμφοτέρων.

Ὅ σφίσι τούσδε τάφους ἐνεώσατο. τεύχισε δ᾽ αὖδαν
Πάππῳ καὶ θείῳ λοισθοτάτας χάριτας.

I. S. Interpr.

Hæc vnà geminos tellus tegit Hippomedontas
Natum & patrē ambos morte obita exanimes.
Filius ingreſſis,manus eſt quà læua,locatus;
Ad dextram ſenior conditus Hippomedon.
At terram ambobus ſuper intulit Hippodamia
Agnati amborum Pœcilij genitrix:
Hæc illis qui buſta nouat,conditq. ſepulcrum,
Matris fratri & auo dona ſuprema dicans.

Ἄδηλον.

Ἑκτὸν ἐπ᾽ εἰκοστῷ πλήσας ἔτος Ἄβγαρος ἔνθα
Ταρχύθη. μοιρῶν ὡς ἐπέκλωσε μίτος.
Ὧι φθόνος ὡς ἄδικός τις ἀπέσβεσεν ἀρχόμενον φῶς
Λυπήσας τε γένος καὶ φιλίους ἑτάρους.
Τύμβον δ᾽ Ἀντωνῖνος ἑῷ θέτο τοῦτον ἀδελφῷ,
Οἷσιν ὁ πρὶν βασιλεὺς Ἄβγαρος ἦν γενέτης.

Petrus Marionus.

Bis duò cum gemina emenſus trieteride luſtra
Abgarus hic (Parcæ ſic voluere) iacet.
Cui lucis rumpens exordia liuor iniquus
Æquales luctu perculit atque genus.
Hunc tumulum poſuit fratri Antoninus: vterque
Abgaro erat quondam rege parente ſatus.

Ἐκ τοῦ ς. τμήματος εἰς λεπτοὺς. Νικάρχου.

Τρεῖς λεπτοὶ ποτὲ δή ποτε περὶ λεπτοσύνης ἐμάχοντο

τίς

τίς προκριθεὶς εἴη λεπτ' ἐπιλεπτότατος.
Ὧν ὁ μὲν εἷς Ἕρμων μεγάλην ἐνεδείξατο τέχνην
καὶ διέδυ ῥαφίδος τρῆμα, λίνον κατέχων.
Δημᾶς δ' ἐκ τρώγλης βαίνων ἐς ἀράχνιον ἔστη.
Ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.
Σωσίπατρος δ' ἐβόησεν, ἐμὲ στεφανώσατ'. ἐγὼ γὰρ
εἰ βλέπομ' ἥττημαι. πνεῦμα γὰρ εἰμὶ μόνον.

Ex 2. lib. In minutos. Nicarchi.

B. Gu. interpr.

Tres dudum exiguis, exiguo de corpore, lite
Contendere, foret quis magis exiguus.
Vnus in his Hermon mirandam prodidit artem,
Et penetrauit acus per caua, lina trahens.
E nido veniens Demas ad aranea adhæſit:
Nens leue ſuſpendit pondus araneolus.
Soſipater clamat, quin palmam ceditis? ipſe
Si videor, vincor. Spiritus en modo ſum.

Ἰουλιανοῦ αἰγυπτίου. διαλογισμός.

Κλεινὸς Ἰωάννης. θνητὸς λέγε. γαμβρὸς ἀνάσσης.
θνητὸς ὅμως. γενεῆς ἄνθος Ἀναστασίου.
Θνητοῦ κἀκείνου. βίον ἔνδικος. οὐκ ἔτι τοῦτο
Θνητὸν ἔφης. ἀρεταὶ κρείσσονές εἰσι μόρου.

Iuliani Ægyptij de Ioanne qui Anaſtaſio Principi carus fuit. Dialogiſmus.

B. Gu.

Clarus Ioannes. Mortalis, dicito, Socrus
Auguſta huic fuit. & ſic periturus erat.

Flos

Flos & Anaſtaſij generis. Mortalis & ille:
Moribus at ſanctis. Non amplius addas
Mortalem. Virtus neſcia ſola mori.

Ἀδέσποτον.

Δυλκίτιον μὲν ἄνακτες ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον ἐξ ἀρετῆς, καὶ κλέος αἰθυπάτων.
Ὡς δὲ φύσις μιν ἔλυσεν ἀπὸ χθονὸς, ἀθάνατοι μὲν
αὐτὸν ἔχουσι θεοὶ, σῶμα δὲ σηκὸς ὅδε.

Incert.

B. Gu. Interpr.

Dulcitium dum vixit, opum ad faſtigia Reges
Vexere, & ſummæ culmen ad vſque domus.
Verum vbi diſſoluit corpus natura, beati
Hunc rapiunt ſuperi, marmora corpus habent.

Ἀδέσποτον.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
Ναιετάων κατὰ θυμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου
Ἀνδρέα σὺ ζώεις, οὐ κάτθανες. ἀλλά σε χῶρος
Ἀμβροτὶς ἀθανάτων ἁγίων ὑπεδέξατο καμόντα.

Incerti. B. Gu. interpr.

Si genus innocuum vincit poſt fata ſuperſtes,
Cælituumq. animos inter verſatur & ora;
Andrea tu viuis, non occidis, & regio te
Immortalis habet, nil iam mortale timentem.

Θαλλοῦ.

Διστὰ φάη Μίλητε τεῆς βλαστήματα γαίης
Ἰταλὶς ἀκυμόρους ἀμφεκάλυψε κόνις.

Πέν-

Πένθεα δ᾽ ϛεφάνων ἤλλαξαν· λείψανα δ᾽ αὖ, αὖ
Ἔδρακες ἐν βαιῇ κάλπιδι κεύθόμενα.
Φεῦ πάϊα τριτάλαινα. πόθεν πάλιν, ἢ πότε τοίους
Ἀστέρας αὐχήσεις ἑλλάδι λαμπομένους;

Thalli. eodem B. Gu. interpr.

Fulgebant Milete tuæ duo ſidera terræ,
Italus occuluit mox tibi rapta cinis.
Frondis honor gemitũ peperit. nũc aſpicis, eheu,
Vrnula relliquias quas tibi parua refert.
Pro patria infelix. quando hæc tu rurſus & vnde
Lucida Cecropijs omnibus aſtra dabis?

Ἡγησίππου.

Τὴν ἐπὶ πυρκαϊῆς ἐνδέξια φασὶ κέλευθον
Ἑρμῆν τοὺς ἀγαθοὺς ἐς Ῥαδάμανθυν ἄγειν.
ᾗ καὶ ἀειζώοος Χαιρεστράτου οὐκ ἀδάκρυτος
Παῖς Ἡγησίλεω δῶμ᾽ Ἀΐδος κατέβη.

Hegeſippi. B. Gu. interpr.

Dextrum iter eſt Crebi ad ſedes: quo limite fertur
Ducere Mercurius ſub Rhadamanta pios.
Hac Hegeſilide Chæreſtrate, non ſine luctu
Egregius properat natus ad ima tuus.

Ἀδήλου.

Τοῦτό τι ἡμετέρης μνημήϊον ἐσθλὲ Σαβῖνε
Ἁ λίθος ἁ μικρά, τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε. σὺ δ᾽ εἰ θέμις ἐν φθιμένοισι
Τοῦ λήθης ἐπ᾽ ἐμοὶ μή τι πίῃς πόματος.

Interpr. B. Gu.

Hoc erit,heu, marmor noſtræ, mihi rapte Sabine
Exiguum eximiæ pignus amicitiæ.
Te quæram aſſiduus:tu,ſi potes, actus ad vmbras,
Me ſuper,haud lethes pocula dira bibas.

Ἄδηλον.

Ἐνθάδε τύμβος ἔχει θεουδέας ἀνέρας ἐσθλούς,
Θεῖον Ἰωάννην, τὸν πάνυ Θευδόσιον.
Ὧν ἀρετὴ πολύολβος ἐς οὐρανοῦ αὐγὰς ἦλθεν,
Καὶ φωτὸς μετόχους δεῖξεν ἀκηρασίου.

Interpr. B. Gu.

Hic tegit egregios heroas marmore eodem
Inclytum Ioannem, Theudoſiumq. lapis.
Nobilis illorum virtus cæli attigit orbes
Iamq. noui meritos luminis igne replet.

Καλλιμάχου.

Σύντομος ἦν ὁ ξεῖνος ὁ καὶ τάφος. οὐ μακρὰ λέξω.
Θῆρις Ἀρισταίου, κρής, ὕπ᾽ ἐμοὶ δολιχόν.

Callimachi. Tumulus loquitur. B. Gu.

Hoſpes erã breuior, tumulus breuis,& breue car-
Theris Ariſtæi, cres. mihi longa quies. (mẽ.

Εἰς Ἀδελφούς.

Ἀγαθίου.

Εὐτόλιος καὶ Παῦλος, ἀδελφεὼ ἄμφω ἐόντε
Ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
Ξυνὰ δὲ καὶ μοίρης ἐχέτην λίνα, καὶ παρὰ θῖνα
Βοσπορίην, ξυνὴν ἀμφεβάλοντο κόνιν.

Οὐδὲ

Οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
Ἀλλὰ ξυντρεχέτην καὶ παρὰ Περσεφόνην.
Χαίρετον ὦ γλυκερὼ καὶ ὁμόφρονε. σήματι δ' ὑμέων
Ὤφελεν ἱδρύσθη βωμὸς ὁμοφροσύνας.

In Fratres Agathiæ. B. Gu.int.

Letoeus Paulo geminus, germana propago
Commune inter ſe vitæ habuere iugum.
Funeris & nacti communia iura, teguntur
Puluere communi litore Boſphorio.
Seiunctam haud poterant diuerſi degere vitam,
Sed vada Perſephones læti adiere ſimul.
Gaudete vnanimi: veſtro, par dulce, ſepulcro
Ara ſuperponi debet amicitiæ.

Τοῦ αὐτοῦ.

Δὶς δύ' ἀδελφειοὺς ἐπέχει τάφος. ἓν γὰρ ἐπέσχον
Ἦμαρ καὶ γενεῆς οἱ δύο καὶ θανάτου.

Eiuſdem. B. Gu. interpr.

Fratres vnus habet geminos lapis. Vnus vtrique
Principium vitæ ſol fuit atque necis.

Εἰς θάνατον καὶ θανόντας.

Παλλαδᾶ.

Σῶμα, πάθος ψυχῆς, ᾅδης, μοῖρ' ἄχθος, ἀνάγκην
Καὶ δῆμος κρατερὸς, καὶ κόλασις βασάνων.
Ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμιῶν
Τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

Palladæ. B. Gu. interpr.

Corpus crux animi, carcer, mors, ſarcina, peſtis,
Viſq.

Viſq. furens populi, carnificumq. faces.
Aſt vbi prodierit mens libera, vincula rumpens
Mortis, in æternas ibit amica plagas.

Ἀδήλου.

Χαίρει τις Θεόδωρος, ἐπεὶ θάνον. ἄλλος ἐπ᾽ αὐτῷ
Χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

Interpr. B. Gu.

Quòd iaceo Theodorus, agit quis lætus, & alter
Lætus aget ſuper hoc. mors ſua quéque manet:

Ἀββιανοῦ.

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται, εἶτ᾽ ἀμελούντων
Ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος:
καὶ τοὺς μὲν τήξας, τοὺς δ᾽ ὀπτήσας, ἐνίους δὲ
Φυσήσας ἄξει πάντας ἐς ἓν βάραθρον.

Incerti. B. Gu. interpr.

Aurora auroræ ſuccedit: at otia mundus
Dum trahit, ignaris mors inopina venit.
Nec ſors vna. Febri perit hic, tabe ille, tumeſcit
Ille cutim. Cunċti trudimur in barathrum.

Ἀδήλου.

Εἰς ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ᾽ ἀπ᾽ Ἀθηνῶν
στείχεις, εἴτε νέκυς νείσεαι ἐκ Μερόης.
μὴ σέ γ᾽ ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα.
Πάντοθεν εἷς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.

Incerti. B. Gu. interpr.

Tartaream ad ſedem facilis deſcenſus, Athenis
Seu Meroë acceleres poſt tua fata gradum

Quid

Quid tibi mors grauior patria procul vrbe ſepul-
Vnus ad Elyſios vndique ventus agit. (to?

Παλλαδᾶ.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φύσις. ἀλλὰ καὶ αὐτὸν
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
τοῦδ' ὁ τυραννήσας Διονύσιος Ἡρακλείας
τῆς ἐν τῷ Πόντῳ μάρτυς ὁ τοῦτο παθών.

Palladæ. B. Gu. interpr.

Exitium non ſola trahit natura, ſed orbi
Sæpe etiam peperit funera multus adeps.
Pontica ſit teſtis Dionyſius Heraclea
Rex tuus, hic tanto ſtratus ab hoſte iacet.

Ἀδηλον.

Πρὶν λαβὼν, ἀλλὰ μένω σε. μένεις δέ τε καὶ σύ τιν' ἄλλον.
Πάντας ὁμῶς θνητοὺς εἷς ἀΐδης δέχεται.

Incerti. B. Gu. interpr.

Præceſſi. maneo nunc te, quem pone ſequetur
Tertius. extinctos accipit vna domus.

Ἀδηλον.

Γῆ μὲν καὶ μήτηρ κικλήσκετο. γῆ με καλύπτει
καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
κεῖμαι δ' ξείνῃ ὑπὸ χερμάδι, μακρὰ γοηθεὶς.
Ἴναχος ἀπειθεὶς Κειναγόρου θεράπων.

Incerti. B. Gu. interpr.

Terra fuit genitrix, & me nunc terra iacentem
Oc-

Occulit: haud illa eſt altera deterior.

Hæc mihi longa quies, rapuit quem ſæua parenti
Febris, & ardenti ſole peruſta dies.
Nunc lateo externa multum defletus in vrna
Inachus, haud ſurdus Crinagoræ famulus.

Εἰς ἰατρούς. Λουκιλλίου.

Μάγνον ὅτ' εἰς Ἀΐδην κατέβη, τρομέων Ἀϊδωνεὺς
εἶπεν, ἀναστήσων ἤλυθε καὶ νέκυας.

In medicos. Lucillij.

B. Gu. interpr.

Magnus vbi ad Manes deſcendit, territus orcus,
Nunc ait extinctis vitaq. luxq. redit.

ΠΕΡΙΟΧΑΙ ΤΙΝΕΣ
γνωμικαὶ τῶν παλαιῶν κωμικῶν.

Sententiæ quædam ex veteribus Comicis pluribus verſibus comprehenſæ.

Ex Alexide.

Ἅπαντα τὰ ζητούμεν' ἐξευρίσκεται,
Ἂν μὴ προαποστῇς, μηδὲ τὸν πόνον φύγῃς.
Ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
Μέρος τι τῶν θείων, τοσοῦτο τῷ τόπῳ
Ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς,
Ἔκλειψιν ἡλίου: τί τῶν κοινῶν τε καὶ
τῶν συγγενῶν δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;

In-

Interpretatio.

Nil eſt quod inuenire tandem non queas,
Dummodo laboris non prius te tædeat.
Si namq. partem maximam cæleſtium
Reperere rerum diſſitarum tam procul
Aliqui homines, conuerſiones ſiderum,
Ortuſque, & occaſus (ita varios licet)
Solisq. defectum: quid? humana vlla res
Adeo latebit vt inueniri non queat?

Ex Amphide.

Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
Ἥκιστα τούτοις πλησιάζων ἥδεται.

Interpr.

Vbi quis vllum paſſus infortunium eſt,
Lubenter illum non propinquat ad locum.

Ex Anaxandride.

Οὔπι τὸ γῆράς ἐστιν (ὡς οἴει πάτερ)
Τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ
Ἀγνωμόνως, αὐτ' ἑαυτῷ ἐστιν αἴτιος.
Ὁ δ' εὐκόλως, ἐνίοτε κοιμίζειν ποιεῖ
Μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
Λύπην ἀφαιρῶν, ἡδονήν τε προστιθείς.

Interpr.

Non eſt ſenectus (vt tu opinaris pater)
Onus grauiſſimum: Sed impatientius
Qui fert, ſibi ipſe eſt auctor illius mali:
Patienter at qui, ſibi quietem comparat:

Dum dextere eius moribus ſe accommodat.
Nec ille ſolum detrahit moleſtiam,
Accerſit aliquam ſed voluptatem ſibi.

Ex Antiphane.

Ἐπὶ χρήμασι νῦν οὐκ ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος.

Interpr.

Mercator opibus inſolens tumet ſuis,
Quum dominus harum ſæpè ſit ventus tamen.

Ex eodem.

Τί δ' οὐχὶ θανάτου μισθοφόρος ὦ φίλτατε,
Ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

Interpr.

Nonne ille mortis eſt ſtipendiarius,
Qui morte quærit vnde poſſit viuere?

Ex Apollodoro.

Ἀλλὰ σχεδόν τι τὸ κεφάλαιον τῶν κακῶν
Εἴρηκας, ἐν φιλαργυρίᾳ γὰρ πάντ' ἔνι.

Interpr.

Id nempe dicis, omnium quod eſt caput
Malorum, auaritiam mihi quum nominas.

Ex eodem.

Ὅτι μειράκιον ἦν τοὺς ἀώρους ἤλεουν.
Νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω,
Κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτο κεῖνο δ' οὔ.

Interpr.

Annis iuuentæ, fato acerbo quos rapi

Vide-

Videbam, eorum condoleſcebam vicem:
Nunc lacrymis ſenile funus proſequor,
Quod ſit eadem mihi via inſiſtenda mox.

Ex eodem.

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράσσοντα δεῖ,
Ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

Interpr.

In miſerijs nullis labaſcere conuenit,
Meliora ſed ſperare ſemper affore.

Ex eodem.

Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον,
Καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον ἐστὶ χωρεῖ,
Οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
Ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος,
Ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.
Ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα,
Τῷ μήτε λίαν ἐν ταπεινῷ τῆς ψυχῆς
Μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν.
Κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέρους,
Εὐπειρικὸν λυπηρὸν ἔχει τὴν δυσπραξίαν.
Ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
Πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται
Σφάλλει δ' ἐκείνους οὓς ἂν ὑψώσῃ τύχη.

Interpr.

Habent perampla dona fortunæ metum,
Periculoq. non carent præluſtria:
Nec vlla celſa tuta ſunt mortalibus,

Quæ euertere vel inuidia, vel tempus ſolet,
Felicitatis culmen vbi quis attigit.
At tutior mediocritas in omnibus
Neque mente deprimente ſeſe ad humum nimis,
Neque contra in altum ſe efferente ſuperbius.
Namq. minus alto ſiquis è gradu cadat,
Celabitur facile eius infortunium:
Ingentis at molis ruina ingens erit.
Nam rebus obſtat inuidia prælustribus,
Subuertit & fortuna quos euexerit.

Ex Cratete.

Ὠνείδισας μοι γῆρας, ὡς κακὸν μέγα
Οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία.
Οὗ πάντες ἐπιθυμοῦμεν, ἂν δ' ἔλθῃ ποτὲ
Ἀνιώμεθ' οὕτως ἐσμὲν ἀχάριστοι φύσει
Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ

Interpr.

Mihi ſenectutem obijcis, grande vt malum,
Qua non potitus, morte multatus fuit.
Quam cupimus omnes, conſecuti quam tamen
Dolemus. ingratum genus adeò ſumus.
Nam nullus adeò cupidus eſt vitæ, vt ſenex.

Ex Dionyſio.

Ἔπειτα δ' οὐδὲ τοῦτο γιγνώσκεις, ὅτι
Τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ.
Ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.
Ἅπαν τὸ λίαν συνετὸν ἔσ' ἐπίφθονον.

Interpr.

Interpr.

Deinde tibi nec iſtud eſt notum ſatis,
Ijs qui nihil ſunt inuidere neminem?
At ſplendidis inuidia rebus eſt comes.
Hanc magna comitem habet itidem prudentia.

Ex Diphilo.

Ὁ συνιστορῶν αὑτῷ τι, κἂν ᾖ θρασύτατος,
Ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ.

Interpr.

Sibi conſcium, licet virum audaciſſimum,
Timidiſſimum facit ipſa conſcientia.

Ex eodem.

Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
Συνειδόθ᾽ αὑτῷ φαῦλα διαπεπραγμένῳ,
Πῶς τόνγε μηδὲν εἰδότ᾽ αἰσχυνθήσεται;

Interpr.

Qui perpetrati conſcius ſibi mali,
Non erubeſcit ipſe ſeipſum tamen;
Quinam erubeſcet illius non conſcium?

Ex Menandro.

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν
Ἐν παντὶ καιρῷ. τοῦτ᾽ ἐγὼ παρεγγυῶ
Εἰς ἀσφάλειαν τοῦ βίου πλεῖστον μέρος.

Interpr.

Eſt tempore omni vera proloqui optimum:
Hoc facere adhortor, quippe quod ſit roboris
Secure ad æuum tranſigendum maximi.

Ex eodem Men.

Ἀθανασία δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
Τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα
Ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.

Interpr.

Nulla fugiendæ mortis eſt ratio, licet
Tua ſeruet arca Tantali immenſas opes:
Sed coget alij cuncta mors relinquere.

Ex eodem Men.

Ἅπαντα τὰ ζῷ' ἐστὶ μακαριώτατα,
Καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
Τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί,
Οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
Τούτῳ κακὸν δι' αὐτὸν οὐδὲν γίγνεται,
Ἃ δ' ἡ φύσις δέδωκεν αὐτῷ, ταῦτ' ἔχει.
Ἡμεῖς δὲ χωρὶς τῆς ἀναγκαίας κακῶν
Αὐτοὶ παρ' αὐτῶν ἕτερα προσπορίζομεν.
Λυπούμεθ', ἂν πτάρῃ τις. ἂν εἴπῃ κακῶς,
Ὀργιζόμεθ'. ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα
Φοβούμεθ'. ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
Ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
Ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Interpr.

Animantium vnumquodque feliciſſimum eſt,
Magisq. multo quam genus hominum ſapit.
Ac primum aſellum hunc intuere, ſi libet:
Sors eſt quidem illi (quis neget!) duriſſima;

Accerſit vllum nec ſibi tamen malum,
Perfert ſed illa ſola quæ natura dat.
Nos præter illud, quod neceſſitas vehit,
Nobiſmet ipſi adſciſcimus multum mali.
Si ſternuat quis, angimur: verba ob mala
Ira repente accendimur: ſi ſomnia
Sunt viſa cuiquam, nos metus ſtatim opprimit;
Audita ſi vox noctuæ, expaueſcimus.
Leges, placita, contentiones, ambitus:
Hæc cuncta naturam mala addita ad tuam.

Ex eodem Men.

Δεῖ τὸν πολίτην προστατεῖν αἱρούμενον,
Τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἐπίφθονον,
Ἤθει δὲ χρηστῷ συγκεκραμένην ἔχειν.

Interpr.

Vrbis tenere qui gubernacula velit,
Hic ne inuidenda polleat facundia,
Sed quę probis ſit temperata moribus.

Ex eodem Men.

Εἰ γὰρ ἐγένου σὺ Τρόφιμε, τῶν πάντων μόνος,
Ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧτε διατελεῖν
Πράσσων ἃ βούλει, καὶ διατυχῶν ἀεί,
Καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
Ὀρθῶς ἀγανακτεῖς· ἔστι γὰρ ἐψευσμένος,
Ἄτοπόν τε πεποίηκει. εἰ δ' ἐπὶ ταυτοῖς νόμοις
Ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
Τὸν κοινὸν, ἵνα σοὶ καὶ βαρικώτερον λαλῶ.

Οἰστέον ἄμεινον ταῦτα, καὶ λογιστέον.
Τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
Οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν
Ταπεινότητα, ζῶον οὐδὲν λαμβάνει,
Καὶ μάλα δικαίως. ἀσθενέστατον γὰρ ὂν
Φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν,
Ὅταν πέσῃ δέ, πλεῖστα συντρίβει καλά.
Σὺ δ' οὔθ' ὑπερβάλλοντα Τρόφιμ' ἀπώλεσας
Ἀγαθά, τανυνῦ δ' ἐστὶ μέτριά σοι κακά.

Interpr.

A matris aluo Trophime ſi tu prodiens,
Hac lege in auras luminis receptus es,
Arbitrio beatus vt viuas tuo,
Et hoc ſpopondit quiſpiam Deum tibi;
Iraſceris iure: quoniam fallit fidem.
Sin lege eadem tu quoque aërem trahis
(Tragicè tibi vt loquar) homines qua cæteri;
Moderatius ſunt hæc ferenda, & lenius.
Nam verbo vt vno finiam, natus es homo,
Quo nullum animal obnoxium ſorti magis
Ipſum erigenti,& deprimenti poſtmodum.
Et iure: namq. eſt omnium infirmiſſimum,
Tamen implicari maximis rebus ſolet,
Ruinaq. eius multa conterit bona.
At tibi bona nec amiſſa ſunt ingentia,
Nec magna ſunt ò Trophime quæ pateris mala:
Mediocris ergo ſit tuus poſthac dolor.

Ex-

Ex eodem.

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
Ἀεὶ θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο.
Ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
Νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει
Εἰς ταῦτα, δέσποτ'. ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
Ἐάν τε κλαίῃς ἄν τε μὴ, πορεύεται.
Τί οὖν πλέον ποιοῦμεν; οὐδέν. ἡ λύπη δ' ἔχει
Ὥσπερ τὰ δένδρα τοῦ καρπὸν τὰ δάκρυα.

Interpr.

Malis mederi ſi valerent lacrymæ,
Et cogeretur mœror illis cedere,
Auro parandæ quolibet nobis forent.
Nunc res acerbæ nil morantur lacrymas:
Sed ſiue plores, ſiue non plores, ſuam
Vno tenore ſemper inſiſtunt viam.
Quid ergò prodeſt flere? nil: ſed lacrymas
Fert mœror, arbores ſuum vt fructum ferunt.

Ex eodem.

Ἔχω γὰρ πολλὴν οὐσίαν, καὶ πλούσιος
Καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός.

Interpr.

Opes mihi ſunt plurimæ, & diues vocor
Ab omnibus, beatus à nullo tamen.

Ex eodem Men:

Μακάριος ὅστις οὐσίαν, καὶ νοῦν ἔχει.
Χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

In-

Interpr.

Cui mens, opesq. ſunt ſimul, beatus eſt
Is namq. ritè ſolus illis vtitur.

Ex eodem Men.

Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσι,
Τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν.

Interpr.

Aduerſa quum fors ingruit, tunc maximum eſt
Videre, noſtris condoleſcant qui malis.

Ex eodem Men.

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
Ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρὸς ἐρῶ.

Interpr.

Spectare noli, ſim ne iuuenis qui loquor,
Viri ſed vtrum verba ſapientis loquar.

Ex eodem Men.

Ἔνεγκ' ἀτυχίαν, καὶ βλάβην ἀσχημόνως.
Τοῦτ' ἔστιν ἀνδρὸς νοῦν ἔχοντος, οὐκ ἄνω
Ἀνασπάσαντα τὰς ὀφρῦς, οἴμοι λαλεῖν.
Ἀλλ' ὅς τὰ αὐτοῦ πράγματ' εὐκρατῶς φέροι.

Interpr.

Damna, & dolores fer modeſtè, & leniter.
Sapientis eſt iſtuc viri: non, hei mihi,
Clamare, caperata atque fronte tetrica,
Aduerſa ſed ferre patienter omnia.

Ex eodem Men.

Ἐξαιθὲν εἰσὶν οἱ δοκοῦντες εὐτυχεῖς,

Τὰδ'

Τὰ δ' ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.

Interpr.

Foris beati, quos beatos credimus:
Nihil ſed intus differunt à cæteris.

Ex eodem Men.

Ἐὰν ἐν ἀγαθοῖς διανοούμενος τις ἂν
Ζητῇ τι κρεῖττον ὧν ἔχει, ζητεῖ κακά.

Interpr.

Bona poſſidere quiſquis & amicos poteſt,
Is melius aliquid ſi petit, malum petit.

Ex eodem Men.

Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
Τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.

Interpr.

Valde in monendo ſiquis aſper filio,
Verbis acerbus eſt quidem, ſed re pater.

Ex eodem Men.

Ὁ φθονερὸς, αὑτῷ πολέμιος καθίσταται.
Αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.

Interpr.

Sibi hoſtis ipſi redditur vir inuidus,
Hunc namq. mœror, quem ſibi acceſſit, premit.

Ex eodem.

Ὅστις δὲ διαβολαῖσι πείθεται ταχὺ,
Ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
Ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Interpr.

Interpr.

Qui præbet aurem credulam calumnijs ;
Vel ingenio is eſt præditus vir improbo,
Vel mentis haud plus quam puer quiuis, habet.

Ex eodem Men.

Οὐδ᾽ ἕνα δ᾽ ἔχοις ἰδεῖν ἂν, οὐδ᾽ εἰπεῖν, ὅτῳ
Οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντ᾽ ἄν ποτε;
Εἰ μὴ λέγειν δ᾽ ἔχουσι τούτους, διά τινα
Τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν:
Τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;

Interpr.

Haud vel videre, nominare vel queas
Auis carentem. natus etenim qui foret ?
Sin aliquis aut quòd prorſum amicis caruerit,
Sedesvè quod mutarit, hos dicere nequit;
Ignobilis ne ſit magis dicentibus?

Ex eodem Men.

Οὐδεὶς ἐφ᾽ αὑτοῦ τὰ κακὰ συνορᾷ Πάμφιλε
Σαφῶς, ἑτέρου δ᾽ ἀσχημονοῦντος ὄψεται.

Interpr.

Haud vllus in ſe vitia cernit, Pamphile,
At, indecorè quod agit alius, perſpicit.

Ex eodem Men.

Οὐκ ἔστιν ὀργῆς (ὡς ἔοικε) φάρμακον,
Ἀλλ᾽ ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.

Interpr.

Iræ medela non (vt arbitror) alia,

Quàm

Quàm verba amici ex ore prodeuntia.

Ex eodem Men.

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
Ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώσσης λόγον.

Interpr.

Retineri vt à te non poteſt iactus lapis,
Sic ore verba emiſſa quæ ſemel tuo.

Ex eodem Men.

Οὗτος κράτιστός ἐστ' ἀνὴρ ὦ Γοργία,
Ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

Interpr.

Exiſtimandus ille præſtantiſſimus,
Iniurias qui ferre nouit plurimas.

Ex eodem Men.

Οὐχ' αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
Ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Interpr.

Cani haud putandi cauſa ſunt prudentiæ,
Mores ſeniles ipſa ſed natura dat.

Ex eodem Men.

Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
Χρόνος ἐστὶν οὗτος· καὶ σὲ νῦν ἰάσεται.

Interpr.

Quibuſlibet neceſſitas quæ dat, malis
Tempus medetur; & tibi id medebitur.

Ex eodem Men.

Πρὸς ἅπαντα δειλὸς ὁ πένης ἐστὶ πράγματα:

Καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει.

Interpr.

Ad omne timidus pauper eſt negotium:
Nam ſe eſſe credit omnibus contemptui.

Ex eodem Men.

Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος.
Εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
Ἅπαντα τὸν χρόνον, φύλαττε, μηδενὶ
Ἄλλῳ μεταδιδούς, αὐτὸς ὢν γε κύριος.
Εἰ μηδ' ἑαυτόν, τῆς τύχης δὲ πάντ' ἔχεις,
Τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί;
Αὕτη γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ
Παρελομένη σοῦ, πάντα προσθήσει πάλιν.
Διόπερ ἐγώ σέ φημι δεῖν ὃν σὺ χρόνον
Εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ,
Αὐτὸν ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν.
Ὡς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ φίλους.
Τοῦτο γὰρ ἀθάνατον. κἂν ποτε πταίσας τύχῃς,
Ἐκεῖθεν ἔσται ταυτὸ τοῦτό σοι πάλιν.

Interpr.

Tibi ſermo de pecunijs: quæ eſt fluxa res.
Nam ſi manere poſſe perpetim ſcias;
Age, poſſide illas ſedulo reconditas:
Caue ne eas cum quopiam communices.
Sin vero earum ſola ſit ſors arbitra;
Quidni libenter ſingulis impertias?
Namq. ipſa forſitan tibi ereptas opes

Donabit

Donabit olim non merenti cuipiam.
Quantiſper ergo poſſides hæc, ô pater,
Conuerte in vſus nobiles, opem omnibus
Ferens, amicos atque ditans plurimos.
Namq. iſtud immortale: ſiq. olim excidas,
Eadem tibi inde ſuppetent rurſùm omnia.

Ex eodem Men.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
Οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
Ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
Τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Interpr.

Cupido habendi aliena maximum malum.
Aliena namq. qui ſtudent adſciſcere,
Sæpè excidentes ſpe ſua, contrà bonis
Alius addunt ipſimet tandem ſua.

Ex eodem Men.

——— Τρία γάρ ἐστι δέσποτα,
Δι' ὧν ἅπαντα γίγνεται, ἢ κατὰ νόμους
Ἢ ταῖς ἀνάγκαις, ἢ γε τρίτον ἔθει τινί.

Interpr.

Ad res agendas his tribus compellimur,
Neceſſitate, lege, conſuetudine.

Ex eodem Men.

Τῷ μὲν τὸ σῶμα διακειμένῳ κακῶς
Χρεία ἐστὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχήν, φίλου.
Λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.

Interpr.

Interpr.

Quærendus ægro medicus eſt vt corpori,
Sic eſt amicus mentis ægritudini.
Nam verba amica ſunt medela commoda.

Ex eodem Men.

Ὤιμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
Οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
Τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω
Οἴμοι λέγειν, ἡδὺν δὲ καὶ πρᾶόν τινα
Ὕπνον καθεύδειν· ἀλλὰ τῶν πτωχῶν τινα.
Νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
Ὑμᾶς ὁρῶ ποιοῦντας ἡμῖν ἐμφερῆ.

Interpr.

Exiſtimabam diuites, ò Phania,
Queis fœnerari non neceſſe, carpere
Somnum quietum, haud clamitantes, hei mihi,
Verſare ſe ſurſum, & deorſum noctibus;
Contingere ſed hæc pauperi tantummodo.
Nunc video vos quoque, qui beati nomine,
Eadem ſolere facere, quæ ſoliti ſumus.

Ex Nicoſtrato.

Εἰ τὸ συνεχῶς καὶ πολλὰ, καὶ ταχέως λαλεῖν
Ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
Ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ.

Interpr.

Si funditare verba multa iugiter,
Et celeriter ſignum putas prudentiæ,

Prudentiores homine ſunt hirundines.

Ex Philemone.

Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
Φθόνον τε, κἀπήρειαν, καὶ μῖσος πολύ,
Πράγματά τε πολλὰ, καὶ ἀχλύσεις μυρίας,
Πράξεις τε πολλὰς, συλλογὰς τοῦ τοῦ βίου.
Εἶτα μετὰ ταῦτα δ' ὅτις ἀῤῥέθη θανὼν,
Ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
Ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
Ἔχειν τε μέτρια, κἀμέριμνον ζῆν βίον
Καὶ μήτ' ἔχειν με πλοῦτον, μήτε πράγματα.
Πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

Interpr.

Obnoxiæ ſunt plurimis opes malis,
Odioq. maximè, & inuidiæ, & opprobrijs,
Atque implicantur plurimis negotijs,
Quæ ferre curas, & moleſtias ſolent:
Poſt quas repentè diues ille mortuus
Alijs bona ſua linquit ad luxum omnia.
Mihi igitur eſt inopia multò gratior,
Exiguaq. inter, abſque curis viuere
Malo, opibus ac moleſtijs carens.
Eſt namq. quiſquis pauper, hoc habet lucri,
Ingentium exors quòd malorum victitat.

Ex eodem Phil.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.

Οὐδ᾽ ὃς τὰ μικρὰ λαμβάνειν ἀπέχεται,
Ἀλλ᾽ ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνειν,
Ἔχειν δυνάμενος, καὶ κρατεῖν ἀζημίως.
Οὐδ᾽ ὃς γε ταῦτα πάντα διαθηρώμενος,
Ἀλλ᾽ ὅστις ἄδολον γνησίαν τ᾽ ἔχων φύσιν,
Εἶναι δίκαιος, οὐ δοκεῖν εἶναι θέλει.

Interpr.

Iniuriam qui non facit, non protinus
Iuſtus: ſed ille qui poteſt, non vult tamen.
Manus nec ille qui ſuas paruo abſtinet,
Ingentia ſed impunè qui quum tollere
Sibiq. habere poſſit, animo temperat:
Immo nec ille, obſeruat iſta qui omnia,
Sed ille mente præditus qui candida,
Re iuſtus eſſe, non videri eſſe expetit.

Ex eodem Phil.

Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
Ἐστὶν, ποιῆσαι δ᾽ αὐτὸν οὐχὶ ῥᾴδιον.

Interpr.

Alium quidem monere homo facilè poteſt,
Sed ipſe non facilè itidem illud fecerit.

Ex eodem Phil.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
Ἔστ᾽, ἢ δύνασθαι λοιδορούμενον φέρειν.
Ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Interpr.

Iucundior res nulla, nec concinnior,
Conuitiantem poſſe quam nobis, pati.
Conuitia etenim ſi tibi quis fecerit,
Id diſſimula: & ille ipſe tum qui fecerit
Tibi; facta; ſentiet ſibi conuitia.

Ex eodem Phil.

Μαινόμεθα πάντες, ὁπόταν ὀργιζάμεθα.
Τὸ γὰρ κατασχεῖν ἐστι τῆς ὀργῆς πόνος.

Interpr.

Omnes in ira corripit quidam furor:
Et continere magnus eſt iram labor.

Ex eodem Phil.

Μείζω τὰ κακὰ ποιοῦσι πολλοί, δέσποτα,
Αὐτοὶ δι' αὑτοὺς, ἢ πέφυκε τῇ φύσει.
Οἷον, τέθνηκεν υἱὸς, ἢ μήτηρ τινὶ,
Ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις.
Εἰ μὲν λάβῃ τοῦτ' Ἀπέθανεν· ἄνθρωπος γὰρ ἦν.
Ἐὰν δ' ἀβίωτος ὁ βίος, οὐκέτ' ὄψομαι,
Ἀπόλωλεν, ἐν γ' ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ:
Πρὸς τοῖς κακοῖς αὐτὸς ἕτερα συλλέγει κακά.
Ὁ δὲ τῷ λογισμῷ ταῦτα παρ' ἑαυτῷ σκοπῶν,
Τὸ κακὸν ἀφαιρεῖται, ἀγαθὸν δὲ λαμβάνει.

Interpr.

Grauiora quam ſuapte natura forent,
O here, ſibimet plurimi reddunt mala.
Si namq. mortuus ſit alicui filius,

Materve ſit præcepta morte cuipiam,
Aut aliquis eius ex propinquorum grege,
Et cogitet ita, Mortem obijt, homo quippe erat:
Tantum eſt malum, quantum quod ante iã fuit.
At vero acerba vita dehinc futura mi eſt;
Non hunc videbo poſtmodum: perijt enim:
Hæc cogitare ſi quis intra ſe velit;
Adiungit ille noua prioribus mala.
Sin cuncta cum ratione quis perpenderit;
Malum quod inerat detrahens, bonum capit.

Ex eodem Phil.

Νὴ Δία τὸν μέγιστον, ὦ μέλε Σωσία,
Ἐγὼ τὸ πρότερον τοὺς πένητας ζῆν, μόνον
Ὀδυνωμένους· τὸν τῶν πλουσίων δὲ τὸν βίον
Ἱλαρόν τιν' εἶναι, καὶ φέρειν ἀθυμίαν.
Νῦν δ' ἀνδρῶν διαφέροντα τοῖς καθ' ἡμέραν
Δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον,
Λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

Interpr.

Ante arbitrabar Soſia moleſtijs
Vitam ſcatere pauperum tantummodo,
At diuites hilariter æuum degere;
Sed vitam eorum video ſolis ſumptibus
Differre, ſiunt qui diebus ſingulis,
Maiore maiorem & moleſtia premi.

Ex eodem Phil.

Οὐκ ἂν δύναιο, μὴ γενέσθαι, δέσποτα,

Ἄνθρω·

Ἄνθρωπος, ὢν ἄνθρωπος, ἄλλως ἂν βοᾷς.
Τὸν ζῶντ᾽ ἀνάγκη πόλλ᾽ ἔχειν ἐστὶν κακά.

Interpr.

Quum ſis homo, ò here, non potes nó eſſe homo.
Fruſtra ergo quereris nam neceſſe eſt omnibus
Mala perpeti, dum vixerint, quamplurima.

Ex eodem Phil.

Οὐκ ἔστιν οὔτε ζωγράφος μὰ τοὺς θεούς,
Οὔτ᾽ ἀνδριαντοποιὸς, ὅστις ἂν πλάσαι
Κάλλος τοιοῦτον οἷον ἡ ἀλήθει᾽ ἔχει.

Interpr.

Haud arte tantam pictor vllus aſſequi,
Statuariuſve pulchritudinem queat,
Tantum & decorem, veritatis quantus eſt.

Ex eodem Phil.

Πάντ᾽ ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

Interpr.

Nil eſt quod inuenire non queas, modo
Perferre quærendi velis moleſtiam.

Ex eodem Phil.

Τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, οὐ μάτην εὖ ἴσθ᾽ ὅτι
Τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

Interpr.

Cognoſce teipſum, iure verba hæc optimo
Celebritatem adepta Delphis maximam.

Ex eodem Phil.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν,
Μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς.
Τὸν δ' εὖ λέγοντα, μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
Τεκμήειον δὲ τοῦδε τὸν Ὅμηρον λαβέ.
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

Interpr.

Qui non loquetur vlla quæ ſint vſui,
Multiloquus hic exiſtimetur vir tibi,
Licet duarum ſyllabarum ſermo ſit.
Contra loquetur ſiquis apta, plurima
Quamuis loquatur, & trahat longam moram,
Ne multiloquus hic cenſeatur vir tibi.
Exemplo Homerus eſſe vel ſolus poteſt:
Nam verſuum tot ſcripſerit quum millia,
Multiloquus eſt vocatus vnquam nemini.

Ex eodem Phil.

Ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά.
Εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Interpr.

Quantæ priora ſunt voluptati mala?
Non fruerer illa, ni laboraſſem antea.

Ex eodem Phil.

Ὦ βίου μακάρια πάντα καὶ τρισόλβια
Τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος,

Οὐ

Οὔτ' εἰς ἔλεγχον αὐτῶν οὐδὲν ἔρχεται,
Οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
Ἐπακτόν. ἣν δ' ἂν εἰσενέγκηται φύσιν
Ἕκαστον, αὐθὺς καὶ νόμον ταύτην ἔχει.
Ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον
Δουλεύομεν δόξαισιν, εὑρόντες νόμους.
Προγόνοισιν, ἐγγόνοισιν, οὐκ ἔστ' ἀποτυχεῖν
Κακοῦ, πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

Interpr.

O ter beata cuncta, ter felicia
Animantia, quibus nulla de iſtis verba ſunt,
Nec quicquam eorum examinatur omnium:
Nec aliud illis quod ſibi accerſiuerint,
Malum eſt: ſed vnumquodque quā genitū attulit
Naturam, ea, ceu lege, protinus vtitur.
Vitalis at non vita nobis viuitur,
Dum legibus ſeruimus, atque plurimis
Opinionibus, ſimulq. poſteris,
Maioribuſque. quinam fiet (obſecro)
Non conſequamur vt nouum ſemper malum,
Cauſam inuenimus dum ſemper mali nouam?

Ex Philemone.

Οὐκ ἔστιν ἡμῖν οὐδεμία τύχη θεός,
Οὐκ ἔστιν· ἀλλὰ ταὐτόματον ὃ γίγνεται
Ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται τύχη.

Interpr.

Fortuna nulla eſt vſpiam nobis Deus:

Sed quidquid homini forte contingit, ſolet
Fortuna id omne paſſim nuncuparier.

Huc alluſiſſe videtur Iuuenalis.

Nullum numen abeſt, ſi ſit prudentia. ſed nos
Te facimus Fortuna Deum, cæloq. locamus.

Ex Philippide.

Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,
Εὐριπίδου μνήσθητι σὺ καὶ ῥᾴων ἔσῃ.
Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.

Interpr.

Aduerſa tibi ſi fortè ſors here ingruat,
Euripidis memento, mœrorem vt leues.
Beatus omni ex parte nullus vſpiam.
Vnum eſſe de multis putato te quoque.

Ex Poſidippo.

Ἔργον γε λύπην ἐκφυγεῖν· ἡ δ' ἡμέρα
Ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Interpr.

Difficile mœrorem effugere: dies enim
Subinde curas procreat nobis nouas.

Ex Sotade.

Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
Ἂν μακρὰ πτύῃς, φλέγματι περισσῷ.
Ἂν δ' ἱματίζῃς, ταῦτα πρὸ σοῦ πρόβατον εἶχεν.
Ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα.
Ἂν πλούσιος ᾖς, τοῦτο χρόνου ἄδικος ἰσχύς.
Ἂν ἀλαζονῇς, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα
Ἂν ᾖ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.
Ἡ σωφροσύνη παρέστιν, ἐὰν μετρῇς σεαυτόν.

Interpr.

Rex ſis licet, mortalis audias tamen.
Si grande deſpuis, tibi pituita ineſt.
Pulchroſne pannos indueris? hos ante te
Ouicula tulerat. at es auro ſplendidus?
Fortuna in iſtum nempe te extulit gradum.
Es diues? id iniqua eſt potentia temporis.
Es inſolens? fremere facit te amentia.
At es modeſtus? hoc Deum munus puta.
Modeſtia autem vera tunc erit tibi,
Si metiare te, pede ac modulo tuo.

Ex Timocle.

Ὦ τᾶν ἄκουσον, ἤν τι σοι δοκῶ λέγειν.
Ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει,
Καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
Παραψυχὰς οὖν φροντίδων ἀνεύρετο

Ταύτας

Ταύτας· ὁ γὰρ νοῦς τὴν ἰδίαν λήθην λαβὼν
Πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
Μεθ' ἡδονῆς ἀπῆλθε, παιδευθεὶς θ' ἅμα.
Τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει, σκόπει,
Ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ ὢν πένης,
Πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
Γενόμενον, ἤδη τὴν πενίαν ῥᾷον φέρει.
Ὁ νοσῶν δὲ μανικῶς, Ἀλκμαίων' ἐσκέψατο.
Ὀφθαλμιᾷ τις; Οἰδίπουν εἶδε τυφλόν.
Τέθνηκέ τῳ παῖς; ἡ Νιόβη κεκούφικε.
Χωλός τις ἐστί; τὸν Φιλοκτήτην ὁρᾷ.
Γέρων τις ἀτυχεῖ; κατέμαθε τὸν Οἰνέα.
Ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
Ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος,
Τὰς αὐτὸς αὑτοῦ συμφορὰς ῥᾷον φέρει.

Interpr.

Aduerte quæſo, num quod ex vſu eſt loquar.
Eſt calamitoſum animal ſua natura homo,
Multasq. ſecum vita fert moleſtias.
Mali leuamen repperit ſed hoc ſui;
Vt calamitatis immemor iam mens ſuæ,
Habensq. ab alieno malo ſolatia,
Documenta capiat recreata paululum.
Primum tragœdi quanta commoda afferant,
Perpende ſodes. ſiquis eſt pauperculus,
Maiore preſſum ſi videbit Telephum

Men-

Mendicitate, lenius ſuam feret
Mendicitatem: inſanus eſtne quiſpiam?
Furioſum is Alemæona proponit ſibi.
Captus quis oculis? aſpicit cæcum Oedipum.
Gnatus obijt? Niobe dabit ſolatium.
Claudus aliquisne eſt? is Philoctetem aſpicit.
Miſer aliquis ſenex? tuetur Oeneum.
Alterius etenim quiſquis ærumnas viri
Eſſe grauiores viderit, quam ſint ſuæ,
Animo æquiore miſerias feret ſuas.

ΓΝΩΜΑΙ ΜΟΝΟ-
ΣΤΙΧΟΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ
ΕΚ ΜΕΝΑΝΔΡΟΥ
ΚΑΙ ΑΛΛΩΝ ΑΡΧΑΙΩΝ Ποιητῶν.

Εἰς ἀγαθοὺς ἄνδρας

ΑΝΗΡ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτε.
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ δίδοι Θεός.
Ζηλωτὸν ἐσθλὸν ἄνδρα, καὶ τὸν σώφρονα.
Ἤθους δὲ βάσανος ἐστὶν ἀνθρώποις χρόνος.

Εἰς ἁμαρτίαν.

Αἰσχρὸν δὲ μηδὲν πράττε, μηδὲ μάνθανε.
Δὶς ἐξαμαρτεῖν ταυτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.

Εἰς ἀνάγκην.

Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.

Εἰς ἀρετήν.

Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα.

SENTENTIAE
MONOSTICHAE

Ideſt ſingulæ ſingulis verſibus comprehenſæ: quæ magna ex parte Menandri putantur ordine Alphabeti diſpoſitæ.

Petro Mariono Eugubino, interprete.
In viros bonos.

BONOS viros odiſſe vir bonus nequit.
Opus bonum de mente procedit bona.
Bono viro bona quoque largitur Deus.
Imitare iuſtos, atque ſapientes viros.
Latentia hominum tempus ingenia indicat.

De peccato.

Ne turpe quicquam peragere, ne diſcas quidem.
eccare idipſum bis, ſapientis haud viri eſt.
uras ab omni ſcelere fac habeas manus.

De neceſſitate.

Neceſſitati cuncta ſubiguntur breui.

De virtute.

Neque audias, neque videas quæ non decet.

Corpus

Βέλτιόν ἐστι σῶμα γ' ἢ ψυχὴν νοσεῖν.
Εὔτακτον εἶναι τ' ἀλλότρια δειπνοῦντα δεῖ.
Ἐλευθέρου γὰρ ἀνδρὸς τ' ἀληθῆ λέγειν.
Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον
Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Καρπὸς δ' ἀγαθός ἐστιν εὔτακτος βίος.
Λαβὲ πρόνοιαν τοῦ προσήκοντος βίου.
Ὅπλον μέγιστόν ἐστιν ἡ ῥετὴ βροτοῖς
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον
Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ, καθὰ δύνῃ.

Εἰς εὐχαριστίαν καὶ ἀχαριστίαν.

Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ
Καλὸν δὲ θησαύρισμα κειμένη χάρις
Μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου
Χάριν χαρίζου καθ' ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου, καὶ λάμβανε.
Χάριν λαβὼν μέμνησο, καὶ δοὺς ἐπιλάθου.

Εἰς βασιλέα.

Ἀρχῆς τετυχὼς ἴσθι ταύτης ἄξιος
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

Εἰς βίον.

Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον
Βίος ἐστὶν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Τῦ πάντα πίπτει, καὶ πάλιν κομίζεται

Corpus magis languere, quam mentem expedit,
Modeſtum oportet eſſe cenantem foris.
Os vera promere hominis ingenui ſolet.
Fac liberum cuſtodias animum tuum.
Fructus beatos afferunt mores graues.
Rectè inſtitutæ fructus eſt vitæ bonus.
Vt vitam honeſtè tranſigas, curam gere.
Virtus, ahenus clypeus eſt mortalibus.
Fac moribus te liberum cuſtodias.
Eſt temperantia vna virtutis penus.
Animi tui pro viribus curam gere.

De grati animi officio.

Ingratus eſt beneficij accepti immemor.
Theſaurus eſt beneficium poſitum bene.
Poſtquam tributa eſt, cito ſeneſcit gratia.
Beneficia cito accepta fac reddas cito.
Fac ſis beneficus omnibus quantum potes.
Honeſta da beneficia, atque itidem accipe.
Datæ immemor ſis gratiæ, acceptæ memor.

De Rege.

Regno eſto dignus, quiſquis es populos regens.
Eſt viua rex imago regnantis Dei.

De vita.

Nulli quod optat ducitur vitæ genus.
Eſt vita vitam poſſe viuentem frui.
Non eſt vocanda vita, quæ victu indiget.
Cuncta parit, ad ſe rurſus & tellus trahit.

Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.
Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

Εἰς βοήθειαν.

Ἀνὴρ γὰρ ἄνδρα, καὶ πόλις σώζει πόλιν.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

Εἰς βουλὴν καὶ ἀβουλίαν.

Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλὴν δὲ παντὸς πράγματος προλάμβανε.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Σύμβουλος ἐσθλὸς μὴ κακὸς γίγνου φίλοις.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν μὴ τῶν κακῶν.

Εἰς γάμον.

Ἄλυπον ἕξεις τὸν βίον, χωρὶς γάμου.
Γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Νόμιζε γήμας δοῦλος εἶναι τῷ βίῳ.
Ὡς τρισκακοδαίμων, ὅστις ἂν πένης γαμεῖ.

Si quo modo vis non potes, viue vt potes.
Læto per omnia viuere haud cuiquam datur.
Vita hominis eſt cæca, & miſerijs obruta.
Curis carentem viuere, felicis viri eſt.
Vt vita dulcis eſt, eam ni noueris?

De auxilio.

Homo ſeruat hominem, ciuitatem ciuitas,
Manus manum digitumq. digitus abluit.

De conſilio & imprudentia.

Stulti labor currentis in ventos abit.
Patiuntur homines multa ob imprudentiam.
